# Βρύσεως μητρόπολις 1324

Acta et Diplomata I. A. σ131-2

LXXI 6833–1324 novembri ind. VIII.

Imperator chrysobullo confirmat erectionem archiepiscopatus Bryseos in metropolim.

Ο αυτοκράτωρ διά χρυσοβούλλου επικυρόνει την προαγωγήν της αρχιεπισκοπής Βρύσεως εις μητρόπολιν.

† Έχει μεν εκ μακρών των χρόνων, μάλλον δε και εξ αρχής και ανέκαθεν η βασιλική και αυτοκρατορική ισχύς προς τοις άλλοις και τούτο δίκαιον και δεδομένον κατά λόγον αυτή επί προνοία των καλών και συνάρσει της διά πάντων επαγομένης καταστάσεως το προβιβάζειν εξ επισκόπων εις αρχιεπισκοπικήν τιμήν εκκλησίας και ~~καθιδρύειν~~ εξ αρχιεπισκοπής εις μητρόπολιν, έτι δ' ότε και μητρόπολιν προάγειν εις βαθμόν μείζονα, έτι γε μην και καινίζειν εκκλησίας και καθιδρύειν εν αυταίς θρόνους, και πάντα ταύτα κατά το προσήκον της γνώμης εκλέγει ποιητέον πάντως αυτή, αλλ' ουχ ως έτυχε και αλογίστοις ορμαίς. ό δ' άρα και ημίν τουτί τέως εσπουδάσθη διά πάντων των της ημετέρας μοναρχίας εν ολί-γων όντων ετών, άλλοι γεγονότων, μάλλον δε αυτά βοά τα πράγματα τοις ευγνώμοσιν επόπταις, και θαρρούντως τούτο φαμεν, ουδέν δ' ήττον και το νυν παραστήσει γινόμενον. κατά γαρ την τοιαύτην δεδομένην ημίν άδειαν δείν εγνώκαμεν, εξ αρχιεπισκοπής προβιβάσαι την αγιωτάτην εκκλησίαν Βρύσεως εις μητρόπολιν, τούτο μεν διά το πολυάνθρωπον της τοιαύτης εκκλησίας και πολυπρόσωπον έχον το εύλογον εις την τοιαύτην

Βρύσεως μητρόπολις 1324

τιμῆς, τοῦτο δὲ καὶ διὰ τὸν νῦν ἀρχιερατικῶς αὐτῇ προϊστάμενον, ἄν-
δρα μεγάλης ἀρετῆς κάλλεσι κοσμούμενον, κἀντεῦθεν αἰδέσιμον
τῇ ἐκκλησίᾳ, αἰδέσιμον τῇ βασιλείᾳ καὶ πολλῆς τιμῆς ἀξιούμε-
νον καὶ σεβάσματος παρ' ἡμῶν. ταῦτα ἄρα καὶ θεσπίζει νῦν διὰ
τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς ἡ βασιλεία μου, εἶναι καὶ εὑ-
ρίσκεσθαι τὴν ἁγιωτάτην ἀρχιεπισκοπὴν Βρύσεως εἰς μητρό-
πολιν καὶ συναπολαύειν τὸν ἐν αὐτῇ εὑρισκόμενον ἱερώτατον
ἀρχιερέα τοῖς λοιποῖς ἱερωτάτοις μητροπολίταις τῆς θείας καὶ
ἱερᾶς μεγάλης συνόδου, τῆς αὐτῆς κλήσεως δὲ καὶ τιμῆς κα-
τὰ πάντα θρόνων, ὡς καὶ ἐκεῖνοι μετέχουσιν, ἀλλὰ δὴ καὶ ἐν τάξει
ὑστερίζων αὐτὸν συντέτακται· ὅθεν καὶ νῦν μὲν ἐφέξει τῇ
ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου τυγ-
χάνειν τῆς τοιαύτης τάξεως τε καὶ τιμῆς ὁ νῦν ἱερώτατος μητροπολί-
της Βρύσεως καὶ ὑπέρτιμος, καθεξῆς δὲ ἕξει τοῦτο κατὰ τὸν ἴσον τρό-
πον καὶ οἱ μετ' αὐτὸν μέλλοντες εὑρίσκεσθαι κατὰ καιροὺς
οἱ γνήσιοι ἀρχιερεῖς τῆς τοιαύτης ἁγιωτάτης μητροπόλεως Βρύ-
σεως, ἕξειν δὲ καὶ καθέδραν καὶ τόπον ἐν τῇ συναριθμήσει τῶν
ἱερωτάτων μητροπολιτῶν μετὰ τὸν ἱερώτατον μητροπολίτην Αἴνου
καὶ ὑπέρτιμον, ἅτε δὴ καὶ τὸ ἑδραῖον καὶ ἀμετακίνητον ὀφείλοντος ἔχειν
τοῦ παρὰ τῆς βασιλείας μου γεγονότος ἐπὶ τῇ τοιαύτῃ ἁγιωτάτῃ ἐκ-
κλησίᾳ προβιβασμοῦ. τούτου γὰρ χάριν ἐγένετο καὶ ὁ παρὼν χρυσόβουλ-
λος λόγος τῆς βασιλείας μου ἀπολυθεὶς κατὰ μῆνα Νοέμβριον τῆς νῦν
τρεχούσης ὀγδόης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ τριακοστοῦ
τρίτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο
κράτος. +